Ακαδημία Αθηνών / Academy of Athens

# Λ

**λαγχάνειν.** Ἀποκτῶ/μοῦ λαχαίνει, acquire/ it falls to my lot, Ξενοφάνης 2.10 *ἀλλ' εἰ μὲν ταχυτῆτι ποδῶν νίκην τις ἄροιτο... ταῦτά κε πάντα λ ά χ ο ι—οὐκ ἐὼν ἄξιος ὥσπερ ἐγὼ* 6.2 *τίμιον ἀνδρὶ λ α χ ε ῖ ν* Ἡράκλειτος 25 *μόροι γὰρ μέζονες μέζονας μοίρας λ α γ χ ά ν ο υ σ ι* Ἐμπεδοκλῆς 115.5 *δαίμονες οἵτε μακραίωνος λ ε λ ά χ α σ ι βίοιο* Δημόκριτος 21 *Ὅμηρος φύσεως λ α χ ὼ ν θεαζούσης ἐπέων κόσμον ἐτεκτήνατο παντοίων.* || **δίκην λαγχάνειν τινί.** Πρβλ. *δίκη.*

**λάθρη** (ἀντίθ. *φανερῶς*). Λάθρα/κρυφά, covertly/in secret, Δημόκριτος 181 *λ ά θ ρ η μὲν γὰρ ἁμαρτέειν εἰκὸς τὸν εἰργμένον ἀδικίης ὑπὸ νόμου, τὸν δὲ ἐς τὸ δέον ἠγμένον πειθοῖ οὐκ εἰκὸς οὔτε λ ά θ ρ η οὔτε φανερῶς ἔρδειν τι πλημμελές.*

**λάινος.** Πέτρινος, made of stone, Παρμενίδης 1.12 *λ ά ι ν ο ς οὐδός.*

**λαμβάνειν 1.** Παίρνω/πιάνω, take/grasp, Ἡράκλειτος 56 *ὅσα εἴδομεν καὶ ἐ λ ά β ο μ ε ν, ταῦτα ἀπολείπομεν, ὅσα δὲ οὔτε εἴδομεν οὔτ' ἐ λ ά β ο μ ε ν, ταῦτα φέρομεν* Ἀρχύτας 1.27 *αἰ γάρ τις ῥάβδον λ α β ὼ ν κινοῖ νωθρῶς τε καὶ ἀσθενέως, τᾷ πλαγᾷ βαρὺν ποιήσει τὸν ψόφον.* || **(καιροῦ) λαβέσθαι.** Ἁρπάζω τὴν εὐκαιρία, seize the opportunity, Δημόκριτος 87 *τὸν φαῦλον παραφυλάττειν δεῖ, μὴ κ α ι ρ ο ῦ λ ά β η τ α ι* **2.** Λαμβάνω/δέχομαι, receive/ accept, Δημόκριτος 93 *χαριζόμενος προσκέπτεο τὸν λ α μ β ά ν ο ν τ α, μὴ κακὸν ἀντ' ἀγαθοῦ κίβδηλος ἐὼν ἀποδῷ* 94 *μικραὶ χάριτες ἐν καιρῷ μέγισται τοῖς λ α μ β ά ν ο υ σ ι* Ἀρχύτας 3.10 *διὰ τοῦτον οὖν (*sc. *τὸν λογισμόν) οἱ πένητες λ α μ β ά ν ο ν τ ι παρὰ τῶν δυναμένων, οἵ τε πλούσιοι διδόντι τοῖς δεομένοις, πιστεύοντες ἀμφότεροι διὰ τούτω τὸ ἴσον ἕξειν.*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ